UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Epimacho Lectori. 70.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τας, ὧν δ' αὐτοὶ κρατοῦσι παθῶν ἐμπιπλῶντας τοὺς ἀρχομένους, τῷ μὴ ἐπεξιέναι· ἀλλὰ πραότητα πέρα τοῦ μέτρου ἐπιδείκνυσθαι· ὡς ἁμαρτάνειν τοὺς μὲν χείρους ὄντας τῶν ἰδίων νόμων· τοὺς δὲ, χείρονας ἀπεργαζομένους τοὺς ὑποτεταγμένους. δρᾷν γὰρ διδάσκουσιν αὐτοὺς, ἃ αὐτοὶ δρᾷν οὐκ ἀξιοῦσι καὶ τρυφᾷν τρυφῆς πόῤῥω καθεστηκότες· καὶ γεωργεῖν τὰς ἀλλοτρίας συμφορὰς, ἃς αὐτοὶ ἐπανορθοῦνται. χρὴ τοιγαροῦν ἐκείνοις μὲν παραινεῖν, ἐμμένειν τοῖς οἰκείοις λόγοις, καὶ μὴ τἀναντία πράττειν, τούτοις δὲ διὰ τοῦ μὴ πᾶσι συγχωρεῖν ἃ βούλονται, περιαναστέλλειν τὰ πλημμελήματα. χρὴ γὰρ συγγνώμην μὲν νέμειν τοῖς διὰ χρηστότητος ὠφελουμένοις, ἐπιτιμᾷν δὲ τοῖς δι' αὐτῆς βλαπτομένοις.

### Ἐπιμάχῳ ἀναγνώστῃ. ο.

Οἶμαι μὴ ἁπλῶς τὰ χαρίσματα δίδοσθαι, ἀλλὰ πρὸς τὴν προπαρασκευὴν τῆς διανοίας τῶν δεχομένων. καὶ εἰ δοκεῖ τὰ κατὰ Μωσέα τὸν ἱεροφάντην σκοπήσωμεν. ἐκεῖνος γὰρ ἐπειδὴ τὸν μὲν ἀδικοῦντα αἰγύπτιον ἠμύνατο, τοὺς δ' ὁμοφύλους διαμαχομένους εἰς φιλίαν συνήλλαξεν, ἐχειροτονήθη παρὰ τοῦ θεοῦ, τῶν μὲν αἰγυπτίων κολαστὴς, τῶν δ' ὁμοφύλων νομοθέτης.

συνήλασεν

### Λαμπετίῳ ἐπισκόπῳ. οα.

Ἐπειδὴ γέγραφας ὅτι Εὐσέβιος ὁ ἐπίσκοπος, οὐ τῷ ἀποστῆναι τῶν συγγνώμης μειζόνων πλασμάτων γνωσιμαχεῖ, ἀλλὰ τῷ δοκεῖν ἀπολογεῖσθαι, ἀναισχυντεῖ φάσκων· τίνος ὢν ἐνδεὴς ἐπίπρασκον τὰς χειροτονίας; ὧν γὰρ εὔξαιτ' ἂν ἕκαστος, εἰ μὴ καὶ ὑπὲρ εὐχὴν, ἀπολαύω καὶ δόξης καὶ τιμῆς, παρών τις φίλος τῶν μισοπονηρίας ἕνεκεν διαβοήτων ἔφη· ὅτι μὲν τῆς ἐπισκο-

ἐπιδεὴς πιπράσκω.

ratione temperantes ac moderati ſint, iis tamen, quas ipſi in imperio ac poteſtate tenent, vitioſis affectionibus, eos, quibus præſunt, totos inficiunt, quòd videlicet in peccantes haudquaquam animaduertant, verùm immodicam leuitatem præ ſe ferãt. Peccant autem vtrique, illi nimirum, vt qui legibus ſuis deteriores ſint: hi autem, quòd ſubditos ſuos peiores reddant. Nam eos hæc facere docent, quæ ipſi facere nolũt, & luxui ac deliciis indulgere, cùm ipſi à luxu abhorreant: & meſſem ex alienis calamitatibus facere, quas ipſi leuant & corrigunt. Quamobrem & illi monendi ſunt, vt ſermonibus ſuis immaneant, nec, quæ cum iis pugnent, faciant: & iſti, vt, non omnibus quæ velint concedendo, flagitia reprimant. Opus eſt enim iis quidem veniam tribuere, qui benignitate meliores fiunt: eos autem, quibus facilitas & clementia detrimentum affert, obiurgare atque caſtigare.

### *Epimacho Lectori. 70.*

Diuina beneficia non ſimpliciter ac citra vllam cauſam dari exiſtimo, verùm prout ij, qui ea excipiunt, animos ſuos antè præpararint. Ac, ſi placet, illum ſacrorũ antiſtitem Moſem cõſideremus. Ille enim, quoniam Ægyptium, qui iniuriam infere- *Exod. 2.* bat, vltus eſt, ac rurſum populares ſuos inter ſe rixantes ad amicitiam compulit, idcirco à Deo, Ægyptiorum quidem excruciator, popularium autem ſuorũ Legiſlator, inſtitutus eſt.

### *Lampetio Epiſcopo. 71.*

Quoniam ex literis tuis intellexi, Euſebium Epiſcopum, non à criminibus omni venia grauioribus abſtinendo rectiùs ſibi cõſulere, verùm, quòd defẽſionem aliquã habere ſe putet, impudenter his verbis vti, cuiuſnã rei penuria laboro, vt ſacras ordinationes vendã? quæ enim quiſque optare queat, ne dicã quæ vota ſuperãt, his fruor, hoc eſt, gloria, & honore: audi quid amicus quidam, ob improborũ odium clarus ac